... ΜΗ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μή-
κει. καὶ οὐδετέρα τῶν ΛΜ ΜΗ σύμμετρός ἐστι τῇ ἐκκει-
μένῃ ῥητῇ



[illegible]
[illegible]
ρα ἐκ δύο
ὀνομάτων
ἐστὶν ἕκτη :—

ξϛ Ἡ τῇ ἐκ δύο
ὀνομάτων

μήκει σύμμετρος καὶ αὐτὴ ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τά-
ξει ἡ αὐτή· ἔστω ἐκ δύο ὀνομάτων. ἐστὶ καὶ τῇ τάξει ἡ αὐτὴ
τῇ ΑΒ· ἐπεὶ γὰρ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΑΒ. διῃρήσθω
εἰς τὰ ὀνόματα κατὰ τὸ Ε. καὶ ἔστω μεῖζον ὄνομα τὸ ΑΕ· αἱ
ΑΕ ΕΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· γεγο-
νέτω ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΑΕ πρὸς τὴν ΓΖ·
καὶ λοιπὴ ἄρα ἡ ΕΒ πρὸς λοιπὴν τὴν ΖΔ ἐστὶν ὡς ἡ
ΑΒ πρὸς τὴν ΓΔ· [σύμμετρος δὲ ἡ ΑΒ τῇ ΓΔ μήκει] σύμμετρος ἄρα καὶ ἡ μὲν ΑΕ τῇ ΓΖ
ἡ δὲ ΕΒ τῇ ΖΔ. καί εἰσι ῥηταὶ αἱ ΑΕ ΕΒ· ῥηταὶ ἄρα εἰσὶν
καὶ αἱ ΓΖ ΖΔ· καὶ ἔστιν ὡς ἡ ΑΕ πρὸς ΕΒ, ἡ ΓΖ πρὸς
ΖΔ. αἱ δὲ ΑΕ ΕΒ δυνάμει μόνον εἰσὶ σύμμετροι· καὶ αἱ
ΓΖ ΖΔ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι καί εἰσι ῥηταί·
ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΓΔ. λέγω δὴ ὅτι καὶ τῇ
τάξει ἐστὶν ἡ αὐτὴ τῇ ΑΒ· ἡ γὰρ ΑΕ τῆς ΕΒ μεῖζον δύ-
ναται ἤτοι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ ἢ τῷ ἀπὸ
ἀσυμμέτρου. εἰ μὲν οὖν ἡ ΑΕ τῆς ΕΒ μεῖζον δύναται

τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἡ ΓΖ τῆς ΖΔ μεῖζον δυνή-
σεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν
ἡ ΑΕ τῇ ἐκκειμένῃ ῥητῇ. καὶ ἡ ΓΖ σύμμετρος αὐτῇ
ἔσται· καὶ διὰ τοῦτο ἑκατέρα τῶν ΑΒ ΓΔ ἐκ δύο ὀνομά-
των ἐστὶ πρώτη, τουτέστι τῇ τάξει ἡ αὐτή· εἰ δὲ ἡ ΕΒ
σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ. καὶ ἡ ΖΔ σύμμε-
τρος ἐστὶν αὐτῇ. καὶ διὰ τοῦτο πάλιν τῇ τάξει ἡ αὐτὴ
ἔσται τῇ ΑΒ· ἑκατέρα γὰρ αὐτῶν ἔσται ἐκ δύο ὀνομά-
των δευτέρα· εἰ δὲ οὐδετέρα τῶν ΑΕ ΕΒ σύμμετρος
ἐστὶ τῇ ἐκκειμένῃ ῥητῇ. οὐδὲ οὐδετέρα τῶν ΓΖ ΖΔ
σύμμετρος αὐτῇ ἔσται· καί ἐστιν ἑκατέρα τρίτη· εἰ δὲ
ἡ ΑΕ τῆς ΕΒ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυ-
τῇ. καὶ ἡ ΓΖ τῆς ΖΔ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμ-
μέτρου ἑαυτῇ· καὶ εἰ μὲν ἡ ΑΕ σύμμετρός ἐστι τῇ ἐκκει-
μένῃ ῥητῇ. καὶ ἡ ΓΖ σύμμετρός ἐστιν αὐτῇ. καί ἐστιν ἑκα-
τέρα τετάρτη· εἰ δὲ ἡ ΕΒ, καὶ ἡ ΖΔ. καὶ ἔσται ἑκατέρα
πέμπτη· εἰ δὲ οὐδετέρα τῶν ΑΕ ΕΒ, καὶ τῶν ΓΖ ΖΔ οὐ-
δετέρα σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ. καὶ ἔσται
ἑκατέρα ἕκτη·



ὥστε ἡ τῇ ἐκ δύο
ὀνομάτων μήκει
σύμμετρος ἐκ δύο
ὀνομάτων ἐστὶ καὶ τῇ
τάξει ἡ αὐτή :—

ξζ Ἡ τῇ ἐκ δύο μέσων μήκει σύμμετρος. ἐκ δύο μέσων ἐστὶ καὶ τῇ
τάξει ἡ αὐτή· ἔστω ἐκ δύο μέσων ἡ ΑΒ. καὶ τῇ ΑΒ σύμμε-

EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo